δεομένας αὐτῶν βοηθούντων· ἴσως δὲ καὶ τιμῇ τῇ πρὸς ἀλλήλους· ὁ ἕτερος τὸ μᾶλλον οἰκεῖον τῷ ἑτέρῳ βούλεται μᾶλλον ἀσπαζόμενος καὶ ἀγαπῶν φανερὸς εἶναι. καὶ τοῦτο μὲν ἴσως ἀδιάφορόν ἐστιν, ἐκεῖνο δ' ἀστεῖον, ἂν ἡ γυνὴ μᾶλλον ἀποκλίνασα τῇ τιμῇ πρὸς τοὺς γονεῖς τοῦ ἀνδρὸς ἢ τοὺς ἑαυτῆς C βλέπηται, κἄν τι λυπῆται, πρὸς ἐκείνους ἀναφέρουσα, τοὺς δ' ἑαυτῆς λανθάνουσα. ποιεῖ γὰρ καὶ τὸ πιστεύειν δοκεῖν πιστεύεσθαι καὶ τὸ φιλεῖν φιλεῖσθαι.

**37.** Τοῖς περὶ τὸν Κῦρον Ἕλλησι παρήγγειλαν οἱ στρατηγοὶ τοὺς πολεμίους, ἐὰν μὲν βοῶντες ἐπίωσι, δέχεσθαι μετὰ σιωπῆς, ἐὰν δ' ἐκεῖνοι σιωπῶσιν, αὐτοὺς μετὰ βοῆς ἀντεξελαύνειν. αἱ δὲ νοῦν ἔχουσαι γυναῖκες ἐν ταῖς ὀργαῖς τῶν ἀνδρῶν κεκραγότων μὲν ἡσυχάζουσι, σιωπῶντας δὲ προσλαλοῦσαι καὶ παραμυθούμεναι καταπραΰνουσιν.

**38.** Ὀρθῶς ὁ Εὐριπίδης (Med. 190 ss.) αἰτιᾶται τοὺς τῇ λύρᾳ χρωμένους παρ' οἶνον· ἔδει γὰρ ἐπὶ τὰς ὀργὰς καὶ τὰ D πένθη μᾶλλον τὴν μουσικὴν παρακαλεῖν ἢ προσεκλύειν τοὺς ἐν ταῖς ἡδοναῖς ὄντας. νομίζετε οὖν ὑμεῖς ἁμαρτάνειν τοὺς ἡδονῆς ἕνεκα συγκαθεύδοντας ἀλλήλοις, ὅταν δ' ἐν ὀργῇ τινι γένωνται καὶ διαφορᾷ χωρὶς ἀναπαυομένους καὶ μὴ τότε μάλιστα τὴν Ἀφροδίτην παρακαλοῦντας ἰατρὸν οὖσαν τῶν τοιούτων ἀρίστην. ὥς που καὶ ὁ ποιητὴς διδάσκει τὴν Ἥραν ποιῶν λέγουσαν (Ξ 205. 209)

'καί σφ' ἄκριτα νείκεα λύσω
εἰς εὐνὴν ἀνέσασα ὁμωθῆναι φιλότητι'.

**39.** Ἀεὶ μὲν δεῖ καὶ πανταχοῦ φεύγειν τὸ προσκρούειν τῷ E ἀνδρὶ τὴν γυναῖκα καὶ τῇ γυναικὶ τὸν ἄνδρα, μάλιστα δὲ φυλάττεσθαι τοῦτο ποιεῖν ἐν τῷ συναναπαύεσθαι καὶ συγκαθεύδειν. ἡ μὲν γὰρ ὠδίνουσα καὶ δυσφοροῦσα πρὸς τοὺς κατακλίνοντας αὐτὴν ἔλεγε 'πῶς δ' ἂν ἡ κλίνη ταῦτα θεραπεύσειεν